ράβασις. τὸ δὲ κάρφη καὶ φρύγανα ἐκ παραλλήλου. A Κειῶθεν.] Κεῖος δῆμος τῆς Ἀντιοχίδος φυλῆς, ἀπὸ Κείου τινὸς ὠνομασμένος. ἀναγράφει δὲ τοὺς ἐπωνύμους τῶν δήμων καὶ φυλῶν Πολέμων. γράφεται δὲ καὶ Θειῆθεν ἐστὶ ἀπὸ δήμου τῆς Οἰνηΐδος φυλῆς. Επανάκρουσαι.] ἐπανάκαμψε. ἡ μεταφορὰ ἀπὸ τῶν τὰς κώπας ἀνακρουομένων ἢ τὰς ναῦς. ἄλλως. ὑπόστρεψον ἐπανάβηθι. ἐπανάκρουσις δέ ἐστι κυρίως τὸ ἐπέχειν τὴν ἐπερχομένην ναῦν καὶ μεθορμίσαι εἰς τὸν ὅρμον, ἵνα μὴ προσελθοῦσα θραυσθῇ. καὶ νῦν δὲ τὸ πάλιν ἐπὶ τὸ ὀπίσω ἀπὸ τῶν εἰς τοὔμπροσθεν ἐρεσσόντων. ἢ ἀντὶ τοῦ ἐὰν ἦς πρὸ τούτου, πάλιν αὐτὸν ἐπανάλαβε.

Επ. Καλῶς. Πι. ὅρα νυν. ὡς ἐν Αἰσώπου λόγοις
B Ἐστὶν λεγόμενον δή τι. τὴν ἀλώπεχ' ὡς
Φλαύρως ἐκοινώνησεν αἰετῷ ποτέ.
Επ. Μηδὲν φοβηθῇς, ἐστὶ γάρ τι ῥίζιον
Ὃ διατραγόντ', ἔσεσθον ἐπτερωμένω.
Πι. Οὕτω μὲν εἰσίωμεν. ἄγε δὴ Ξανθία
Καὶ Μανόδωρε, λαμβάνετε τὰ στρώματα.
Χο. Οὗτος σὲ καλῶ, σὲ λέγων. Επ. τί καλεῖς; Χο. Τούτους μὲν ἄγων μετὰ σαυτοῦ
C Ἀρίστισον. τὴν δ' ἡδυμελῆ ξύμφωνον ἀηδόνα μούσαις,
Κατάλειφ' ἡμῖν, δεῦρ' ἐκβιβάσας, ἵνα παίσωμεν μετ' ἐκείνης.

EP. *Bene.* PI. *Vide nunc quod in Æsopi verbis*
*Est dictum iam aliquid, vulpem quod*
*Male communicauit aquilæ aliquando.*
*EP. Nihil timeas: est enim aquila radicula,*
*Qualem edentes eritis alati.*
PI. *Sic quidem introeamus. age iam Xanthia,*
*Et Manodore accipite lectos.*
*CH. Hic te voco, te dicens. EP. Quid vocas?* CH. *Hos quidem ducens tecum,*
*Cœna. hanc autem dulce consonantem lusciniam Musæ*
*Derelinque nobis, huc exiens vt ludamus cum illa.*

Σχόλια. Ορᾶν νυν ὡς ἐν Αἰσώπου λόγοις.] ὅτι σαφῶς ἀντιτίθεσαν Αἰσώπῳ τοὺς λόγους, καὶ τοῦτον τὸν παρὰ τῷ Ἀρχιλόχῳ λεγόμενον καίτοι πρεσβυτέρῳ ὄντι. Μηδὲν φοβηθῇς.] ἐπειδὴ μετὰ ὀρνίθων ὄντες ἀπορνιθωθῆναι ἔμελλον, προκατασκευάζει δι' ὧν ἔμελλον τούτου τυχεῖν. Οὕτω.] ἀντὶ τοῦ ἐπὶ ταύταις ταῖς συνθήκαις. Παίσωμεν δέ.] χορεύσωμεν.

D

Εἴθεσις ἑτέρας περιόδου ἐκ στίχων ιε.

Πι. Ὦ. τοῦτο μέν τοι νὴ Δί' αὐτοῖσιν πιθοῦ.
Ἐκβίβασον ἐκ τοῦ βουτόμου τοὐρνίθιον.
Ἐκβίβασον αὐτοῦ πρὸς θεῶν αὐτήν, ἵνα
Καὶ νὼ θεασώμεσθα τὴν ἀηδόνα.
E Επ. Ἀλλ' εἰ δοκεῖ σφῷν, ταῦτα χρὴ δρᾶν. ἡ Πρόκνη
Ἔκβαινε. καὶ σαυτὴν ἐπιδείκνυ τοῖς ξένοις.
Πει. Ὦ Ζεῦ πολυτίμηθ' ὡς καλὸν τοὐρνίθιον.
Ὡς δ' ἁπαλόν. ὡς δὲ λευκόν. Ευ. ἆρά γ' οἶσθ' ὅτι,
Ἐγὼ διαμηρίζοιμ' ἂν αὐτὴν ἡδέως;
Ὅσον δ' ἔχει τὸν χρυσὸν ὥσπερ παρθένος.
F Πει. Ἐγὼ μὲν αὐτὴν καὶ φιλῆσαί μοι δοκῶ.
Ευ. Ἀλλ' ὦ κακόδαιμον ῥύγχος ὀβελίσκοιν ἔχει.
Πει. Ἀλλ' ὥσπερ ᾠὸν νὴ Δί' ἀπολέψαντα χρὴ
Ἀπὸ τῆς κεφαλῆς τὸ λέμμα, κᾆθ' οὕτω φιλεῖν.
Επ. Ἴωμεν. Πει. ἡγοῦ δὴ σὺ νῷν, ἀγαθῇ τύχῃ.
G

PI. *O Hoc quidem per Iouem ipsis persuade.*
*Exi ex butomo auiculam,*
*Exire facias huc per deos ipsam, vt*
*Et nos videamus lusciniam.*
EP. *Sed si videtur vobis, hæc oportet facere, Progne*
*Exi, & teipsam ostende hospitibus.*
PI. *O Iupiter multum honorate, valde pulchra hæc auicula,*
*Valde autem tenera, valde autem alba.* EV. *Nunquid scis, quod*
*Ego subagitarem ipsam suauiter?*
*Quantum autem habet aurum tanquam virgo?*
PI. *Ego quidem ipsam & oscularer puto?*
EV. *Sed ô infelix rostrum verubus habet.*
PI. *Sed tanquam ouum per Iouem decorticantem oportet*
*A capite squammam, & postea sic osculari.*
EV. *Eamus.* PI. *Dux sis tu iam nobis bona fortuna.*

Σχόλια. Ὦ τοῦτο μέν τοι.] εἴσθεσις ὁμοίας ἑτέρας περιόδου ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ιε. ἐπὶ τῷ τέλει κορωνίς, ἐξιόντων τῶν ὑποκριτῶν. ἐκβίβασον δέ, ἔκβαλε, ἐξάγαγε. Ἐκ τοῦ βουτόμου.] φυτεῖον παραπλήσιον καλάμῳ, ὃ ἐσθίουσιν οἱ βόες. ἄλλως. φυτεῖον παραποτάμιον, ὃ τοῖς βουσὶ παρασκευάζουσι. τοῦτο δὲ λέγεται, ὡς τῆς Πρόκνης ἐγκρυπτομένης τῇ ὕλῃ. αὐτοῦ δέ, αὐτόθι, ἐν τῷ θεάτρῳ. Ὦ Ζεῦ πολυτίμηθ'.] ἑταιρείδιον προσόψεισι. τὰ ἄλλα μὲν κεκαλλωπισμένον. τὴν δὲ κεφαλὴν ὄρνιθος ἔχον ὡς ἀηδόνος. Ὡς δ' ἁπαλόν.] ἅμα